## Παράφρασις εἰς τὸ,

## ΒΟΥΛΗ'Ν ΠΡΟΑΙΩ'ΝΙΟΝ.

Βουλὴν μεγίστην τὴν ἀπ᾿ αἰῶνος, ΚΟ'ΡΗ,
σοί γ᾿ ἐκκαλύπτων ΓΑΒΡΙΗ'Λ ἐπ᾿ ἐσχάτων
ἔστηκε θαῤῥύνων σε κἀσπασμῷ λέγων·
σοὶ μὲν τὸ χαίρειν εἰκότως πρέπει μόνῃ·
σὺν σοὶ γὰρ ὄντως οὐρανῶν ὁ δεσπότης
πασῶν γυναικῶν οἷά γ᾿ ἐκλελεγμένῃ.
σὺ δ᾿ ἐν γυναιξὶν εὐλογημένη πέλεις,
ὁ καρπὸς ὥσπερ σῆς ἀχράντου νηδύος·
τέξῃ γάρ υἱὸν τὸν Θεοῦ πατρὸς λόγον
ἐξ αἱμάτων σῶν σάρκ᾿ ἐπημφιεσμένον·
Γῆς Οὐρανοῦ τ᾿ ἄνακτα, πάντων δεσπότην,
οὗ τὸ κράτος δ᾿ ἄληκτον ἔστ᾿ αἰωνίως.

Φαίνῃ μὲν ὡς ἄνθρωπος ἡ ΚΟ'ΡΗ λέγει
Α'ρχιστράτηγον εἰσορῶσα σὺν τρόμῳ,
λόγους δ᾿ ὑπερβαίνοντας ἀνθρώπων νόον
φθέγγῃ· τὸ θεῖον νῦν ἔμοι γ᾿ ἔσεσθ᾿ ἅμα
μήτραν ἐμὴν σκήνωμα ποιῆσαν ξένον·
γενήσομαι πῶς δ᾿ εὐρύχωρον χωρίον;